καὶ ἡ γυνὴ ἐφώνησεν, οὐδὲν εἴληφα ἐγώ. αἴσωπος ἔφη, τινὶ ἐκέλευσας δοθῆναι τὰ μέρη; ὁ ξάνθος εἶπε, τῇ εὐνοούσῃ. καὶ ὁ αἴσωπος, μὴ οὖν αὕτη σοι εὐνοεῖ; ὁ ξάνθος, ἀλλὰ τίς δέσποτα; ὁ δὲ αἴσωπος φωνήσας τὴν κύνα, φησί, αὕτη σοι μᾶλλον εὐνοεῖ. ἡ γυνὴ γὰρ κἂν λέγῃ εὐνοεῖν, οὐκ εὐνοεῖ. ἢ γὰρ ποτε ἐπ' ἐλαχίστῳ λυπηθῇ, ὑβρίζει, ἀντιλέγει, ἀναχωρεῖ. τὴν δὲ κύνα δέρον, δίωξον, καὶ οὐκ ἀποχωρήσει, ἀλλ' εὐθὺς ἐπιλανθανομένη πάντα, πάλιν τὴν κέρκον τῷ δεσπότῃ ἐπισείει χαριέντως. ἔδει σε δὲ εἰπεῖν τῇ γυναικί μου ταῦτα ἐπίδος, καὶ μὴ τῇ εὐνοούσῃ. ὁ δὲ ξάνθος τῇ ἑαυτοῦ γυναικὶ εἶπε, βλέπεις, κυρία μου, ὅτι οὐκ ἐμὸν τὸ αἴτιον, ἀλλὰ τοῦ προσενεγκόντος. μακροθύμησον οὖν. καὶ εὑρήσω πρόφασιν, δι' ἧς αὐτὸν μαστιγώσω. ἡ δὲ ἀπὸ τοῦ νῦν οὐ συνοικήσω μετὰ σοῦ οὐκέτι. ἐξελθοῦσα δὲ λαθραίως ἐπορεύθη πρὸς τοὺς ἑαυτῆς γο-